## V

“γινώσκω, χαρίεσσα, φιλεῖν πάλι τὸν φιλέοντα
καὶ πάλι γινώσκω τόν με δακόντα δακεῖν·
μὴ λύπει με λίην στέργοντά σε, μηδ᾽ ἐρεθίζειν
τὰς βαρυοργήτους σοὶ θέλε Πιερίδας.”
τοῦτ᾽ ἐβόων αἰεὶ καὶ προύλεγον, ἀλλ᾽ ἴσα πόντῳ
Ἰονίῳ μύθων ἔκλυες ἡμετέρων.
τοιγὰρ νῦν σὺ μὲν ὧδε μέγα κλαίουσα βαΰζοις,
ἡμεῖς δ᾽ ἐν κόλποις ἥμεθα Ναϊάδος.

## VI

ἠράσθην Δημοῦς Παφίης γένος· οὐ μέγα θαῦμα·
καὶ Σαμίης Δημοῦς δεύτερον· οὐχὶ μέγα·
καὶ πάλι Νυσιακῆς Δημοῦς τρίτον· οὐκέτι ταῦτα
παίγνια· καὶ Δημοῦς τέτρατον Ἀργολίδος.
αὐταί που Μοῖραί με κατωνόμασαν Φιλόδημον,
ὡς αἰεὶ Δημοῦς θερμὸς ἔχοι με πόθος.

## VII

καὶ νυκτὸς μεσάτης τὸν ἐμὸν κλέψασα σύνευνον
ἦλθον καὶ πυκινῇ τεγγομένη ψακάδι·
τοὔνεκ᾽ ἐν ἀπρήκτοισι καθήμεθα, κοὐχὶ λαλεῦντες
εὕδομεν ὡς εὕδειν τοῖς φιλέουσι θέμις;